## XI [96B., 90D.]

ὦ ξεῖν', εὔυδρόν ποκ' ἐναίομες ἄστυ Κορίνθω, 11
νῦν δ' ἅμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς.

## XII [97B., 95D.]

ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν 12
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

## XIII [134B., 108D.]

ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου 12
ὅπλ' ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας.

ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυσάμεθα. 120

δουλοσύνης· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέης μνήματα ναυμαχίης.
ὀστέα δ' ἡμὶν ἔχει Σαλαμίς, πατρὶς δὲ Κόρινθος 125
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.